πόλις πόνον τόνδ᾽, ὡς θέλοντά μ᾽ ᾔσθετο.
ἔα·
λόγων τίς ἐμποδὼν ὅδ᾽ ἔρχεται;
Καδμεῖος, ὡς ἔοικεν οὐ σάφ᾽ εἰδότι,
κῆρυξ.
ἐπίσχες, ἤν σ᾽ ἀπαλλάξῃ πόνου
μολὼν ὕπαντα τοῖς ἐμοῖς βουλεύμασιν.

ΚΗΡΥΞ

τίς γῆς τύραννος; πρὸς τίν᾽ ἀγγεῖλαί με χρὴ
λόγους Κρέοντος, ὃς κρατεῖ Κάδμου χθονὸς
Ἐτεοκλέους θανόντος ἀμφ᾽ ἑπταστόμους
πύλας ἀδελφῇ χειρὶ Πολυνείκους ὕπο;

Θη. πρῶτον μὲν ἤρξω τοῦ λόγου ψευδῶς, ξένε,
ζητῶν τύραννον ἐνθάδ᾽· οὐ γὰρ ἄρχεται
ἑνὸς πρὸς ἀνδρός, ἀλλ᾽ ἐλευθέρα πόλις.
δῆμος δ᾽ ἀνάσσει διαδοχαῖσιν ἐν μέρει
ἐνιαυσίαισιν, οὐχὶ τῷ πλούτῳ διδοὺς
τὸ πλεῖστον, ἀλλὰ χὼ πένης ἔχων ἴσον.

Κη. ἓν μὲν τόδ᾽ ἡμῖν ὥσπερ ἐν πεσσοῖς δίδως
κρεῖσσον· πόλις γὰρ ἧς ἐγὼ πάρειμ᾽ ἄπο
ἑνὸς πρὸς ἀνδρός, οὐκ ὄχλῳ κρατύνεται·
οὐδ᾽ ἔστιν αὐτὴν ὅστις ἐκχαυνῶν λόγοις
πρὸς κέρδος ἴδιον ἄλλοτ᾽ ἄλλοσε στρέφει,
τὸ δ᾽ αὐτίχ᾽ ἡδὺς καὶ διδοὺς πολλὴν χάριν,
ἐσαῦθις ἔβλαψ᾽, εἶτα διαβολαῖς νέαις
κλέψας τὰ πρόσθε σφάλματ᾽ ἐξέδυ δίκης.
ἄλλως τε πῶς ἂν μὴ διορθεύων λόγους
ὀρθῶς δύναιτ᾽ ἂν δῆμος εὐθύνειν πόλιν;
ὁ γὰρ χρόνος μάθησιν ἀντὶ τοῦ τάχους
κρείσσω δίδωσι. γαπόνος δ᾽ ἀνὴρ πένης,

396 εἰδότι Musgrave: **δοτι L: οἶδ᾽ ὅτι *l*P 398 ὕπαντα Hartung: ὑπαντᾶ L P (μολὼν δ᾽ ὑπαντᾷ *p*) 400 ὃς L *p*: ὡς P 402 ἀδελφῇ L, ut mihi videtur: ἀδελφοῦ P 408 del. Wilamowitz 411 ὄχλων L P, corr. *p* 413 ἄλλοτ᾽ *l*: ἄλλος L P 414 τὸ δ᾽ Wilamowitz: ὁ δ᾽ L P 415 εἰς αὖτις L P



εἰ καὶ γένοιτο μὴ ἀμαθής, ἔργων ὕπο
οὐκ ἂν δύναιτο πρὸς τὰ κοίν᾽ ἀποβλέπειν.
ἢ δὴ νοσῶδες τοῦτο τοῖς ἀμείνοσιν,
ὅταν πονηρὸς ἀξίωμ᾽ ἀνὴρ ἔχῃ
γλώσσῃ κατασχὼν δῆμον, οὐδὲν ὢν τὸ πρίν.

Θη. κομψός γ᾽ ὁ κῆρυξ καὶ παρεργάτης λόγων.
ἐπεὶ δ᾽ ἀγῶνα καὶ σὺ τόνδ᾽ ἠγωνίσω,
ἄκου᾽· ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων.
οὐδὲν τυράννου δυσμενέστερον πόλει,
ὅπου τὸ μὲν πρώτιστον οὐκ εἰσὶν νόμοι
κοινοί, κρατεῖ δ᾽ εἷς τὸν νόμον κεκτημένος
αὐτὸς παρ᾽ αὑτῷ· καὶ τόδ᾽ οὐκέτ᾽ ἔστ᾽ ἴσον.
γεγραμμένων δὲ τῶν νόμων ὅ τ᾽ ἀσθενὴς
ὁ πλούσιός τε τὴν δίκην ἴσην ἔχει,
ἔστιν δ᾽ ἐνισπεῖν τοῖσιν ἀσθενεστέροις
τὸν εὐτυχοῦντα ταὔθ᾽, ὅταν κλύῃ κακῶς,
νικᾷ δ᾽ ὁ μείων τὸν μέγαν δίκαι᾽ ἔχων.
τοὐλεύθερον δ᾽ ἐκεῖνο· Τίς θέλει πόλει
χρηστόν τι βούλευμ᾽ ἐς μέσον φέρειν ἔχων;
καὶ ταῦθ᾽ ὁ χρῄζων λαμπρός ἐσθ᾽, ὁ μὴ θέλων
σιγᾷ. τί τούτων ἔστ᾽ ἰσαίτερον πόλει;
καὶ μὴν ὅπου γε δῆμος αὐθέντης χθονός,
ὑποῦσιν ἀστοῖς ἥδεται νεανίαις·
ἀνὴρ δὲ βασιλεὺς ἐχθρὸν ἡγεῖται τόδε,
καὶ τοὺς ἀρίστους οὕς τ᾽ ἂν ἡγῆται φρονεῖν

421 γένοιτο Scaliger: πένοιτο L P μὴ ἀμαθής Lobeck: κἀμαθὴς L P 423–425 del. Kirchhoff: habuit Stobaeus 106. 4: intercidisse fere dimidiam partem orationis praeconis et chori distichon putat Wilamowitz, collato Aristot. Pol. 1310ᵃ 32 426 γ᾽ L: δ᾽ P 432 ἔστ᾽ ἴσον Markland: ἐστί σοι L P Versum hunc, vv. 429–431 citatis, non subiungit Stobaeus 49. 1 433 pro hoc v. habet Stobaeus 44. 6 duos: οὐκ ἔστιν οὐδὲν κρεῖσσον ἢ νόμοι πόλει | καλῶς τεθέντες· ὅ τε γὰρ ἀσθενέστερος 435, 436 ignorat Stobaeus loc. cit.: delevit Nauck 435 ἐνιπεῖν P, corr. ipse, ut mihi videtur 436 ταῦθ᾽ L P κακῶς L *p*: καλῶς P 439 ἔχων] κρατεῖ Wilamowitz, cl. v. 431 440 λαμπρός Canter: λαμπρόν L P 442 αὐθέντης] εὐθυντὴς Markland 445 οὕς τ᾽ Markland: οὓς L P

κτείνει, δεδοικὼς τῆς τυραννίδος πέρι.
πῶς οὖν ἔτ' ἂν γένοιτ' ἂν ἰσχυρὰ πόλις,
ὅταν τις ὡς λειμῶνος ἠρινοῦ στάχυν
τόλμας ἀφαιρῇ κἀπολωτίζῃ νέους;
κτᾶσθαι δὲ πλοῦτον καὶ βίον τί δεῖ τέκνοις
ὡς τῷ τυράννῳ πλείον' ἐκμοχθῇ βίον;
ἢ παρθενεύειν παῖδας ἐν δόμοις καλῶς,
τερπνὰς τυράννοις ἡδονάς, ὅταν θέλῃ,
δάκρυα δ' ἑτοιμάζουσι; μὴ ζῴην ἔτι,
εἰ τἀμὰ τέκνα πρὸς βίαν νυμφεύσεται.
καὶ ταῦτα μὲν δὴ πρὸς τὰ σὰ ἐξηκόντισα.
ἥκεις δὲ δὴ τί τῆσδε γῆς κεχρημένος;
κλαίων γ' ἂν ἦλθες, εἴ σε μὴ 'πεμψεν πόλις,
περισσὰ φωνῶν· τὸν γὰρ ἄγγελον χρεὼν
λέξανθ' ὅσ' ἂν τάξῃ τις ὡς τάχος πάλιν
χωρεῖν. τὸ λοιπὸν δ' εἰς ἐμὴν πόλιν Κρέων
ἧσσον λάλον σου πεμπέτω τιν' ἄγγελον.

Χο. φεῦ φεῦ· κακοῖσιν ὡς ὅταν δαίμων διδῷ
καλῶς, ὑβρίζουσ' ὡς ἀεὶ πράξοντες εὖ.

Κη. λέγοιμ' ἂν ἤδη. τῶν μὲν ἠγωνισμένων
σοὶ μὲν δοκείτω ταῦτ', ἐμοὶ δὲ τἀντία.
ἐγὼ δ' ἀπαυδῶ πᾶς τε Καδμεῖος λεὼς
Ἄδραστον ἐς γῆν τήνδε μὴ παριέναι·
εἰ δ' ἔστιν ἐν γῇ, πρὶν θεοῦ δῦναι σέλας,
λύσαντα σεμνὰ στεμμάτων μυστήρια
τῆσδ' ἐξελαύνειν, μηδ' ἀναιρεῖσθαι νεκροὺς
βίᾳ, προσήκοντ' οὐδὲν Ἀργείων πόλει.

448 ὡς L*p*: ἐς P ἠρινὸν primitus L, ut vid. 453 τερπνάς, τύραννος Reiske 455 νυμφεύεται L P, corr. Hermann 456 τάσ' ἐξηκόντισα L (sic): τάδ' ἐξηκόντισα P 458 γ' Lenting: δ' L P 460 πάλιν Reiske: πόλει L P 464 καλῶς Stob. 106. 6 et *p*: κακῶς L P 466 τἀντία Porson: τἀνάντια L P 467 ἐγώ σ' Marchant 469 γῇ Reiske: τῇ L P 470 ἱκτήρια Nauck: cf. El. 87, 1272 471 τῆσδ'] γῆς Jacobs 472 προσῆκόν γ' Reiske



κἂν μὲν πίθῃ μοι, κυμάτων ἄτερ πόλιν
σὴν ναυστολήσεις· εἰ δὲ μή, πολὺς κλύδων
ἡμῖν τε καὶ σοὶ συμμάχοις τ' ἔσται δορός.
σκέψαι δέ, καὶ μὴ τοῖς ἐμοῖς θυμούμενος
λόγοισιν, ὡς δὴ πόλιν ἐλευθέραν ἔχων,
σφριγῶντ' ἀμείψῃ μῦθον ἐκ βραχιόνων·
ἐλπὶς γάρ ἐστ' ἄπιστον, ἣ πολλὰς πόλεις
συνῆψ', ἄγουσα θυμὸν εἰς ὑπερβολάς.
ὅταν γὰρ ἔλθῃ πόλεμος ἐς ψῆφον λεώ,
οὐδεὶς ἔθ' αὑτοῦ θάνατον ἐκλογίζεται,
τὸ δυστυχὲς δὲ τοῦτ' ἐς ἄλλον ἐκτρέπει·
εἰ δ' ἦν παρ' ὄμμα θάνατος ἐν ψήφου φορᾷ,
οὐκ ἄν ποθ' Ἑλλὰς δοριμανὴς ἀπώλλυτο.
καίτοι δυοῖν γε πάντες ἄνθρωποι λόγοιν
τὸν κρείσσον' ἴσμεν, καὶ τὰ χρηστὰ καὶ κακά,
ὅσῳ τε πολέμου κρεῖσσον εἰρήνη βροτοῖς·
ἣ πρῶτα μὲν Μούσαισι προσφιλεστάτη,
Ποιναῖσι δ' ἐχθρά, τέρπεται δ' εὐπαιδίᾳ,
χαίρει δὲ πλούτῳ. ταῦτ' ἀφέντες οἱ κακοὶ
πολέμους ἀναιρούμεσθα καὶ τὸν ἥσσονα
δουλούμεθ', ἄνδρες ἄνδρα καὶ πόλις πόλιν.
σὺ δ' ἄνδρας ἐχθροὺς καὶ θανόντας ὠφελεῖς,
θάπτων κομίζων θ' ὕβρις οὓς ἀπώλεσεν;
οὔ τἄρ' ἔτ' ὀρθῶς Καπανέως κεραύνιον
δέμας καπνοῦται, κλιμάκων ὀρθοστάτας
ὃς προσβαλὼν πύλῃσιν ὤμοσεν πόλιν
πέρσειν θεοῦ θέλοντος ἤν τε μὴ θέλῃ;

479 γάρ ἐστ' ἄπιστον Fix: γὰρ ἔστι κάκιστον L P: βροτοῖς κάκιστον Stob. 110. 13 481 λεώ Stob. 55. 6: πόλεως L P 482 ἔθ'] ἐφ' Fritzsche 486 καίτοι δυοῖν γὰρ Stob.: καὶ τοῖν δυεῖν (δυοῖν *l* P) γε L P λόγοιν Stob. *l p*: λόγων L P 490 Ποιναῖσι] γόοισι Stob. τέρπεται δ' Stob.: τέρπεταί τ' L P 494 καὶ] θεοῖς Markland 495 ὕβρις οὓς Barnes: οὓς ὕβρις L P: cf. Her. 799 496 οὔ τἄρ' Markland: οὔτ' ἂν L P καππανέως L P 497, 498 ὀρθοστάτας ὃς Nauck: ὀρθοστάτων ἃς L P